Ακαδημία Αθηνών / Academy of Athens

**περιεῖναι 1.** Ὑπερέχω/ὑπερτερῶ, surpass/exceed, Ἐμπεδοκλῆς 113.1 *εἰ θνητῶν π ε ρ ί ε ι μ ι πολυφθερέων ἀνθρώπων* **2.** Πλεονάζω/περισσεύω, be in excess, Δημόκριτος 144 *μὴ ἀποκρῖναι τἀναγκαῖον, ἀλλὰ ἐκ τοῦ π ε ρ ι ε ῦ ν τ ο ς ἤδη γενέσθαι.*

**περιέχειν.** Περιέχω/συνέχω, contain/hold together, Ἀναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ π ε ρ ι έ χ ε ι.* || **τὸ περιέχον.** Ἀναξαγόρας 2 *καὶ γὰρ ἀήρ τε καὶ αἰθὴρ ἀποκρίνονται ἀπὸ τοῦ πολλοῦ τοῦ π ε ρ ι έ χ ο ν τ ο ς, καὶ τό γε π ε ρ ι έ χ ο ν ἄπειρόν ἐστι τὸ πλῆθος* 14 *ὁ δὲ νοῦς, ὅς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἐστιν ἵνα καὶ τὰ ἄλλα πάντα, ἐν τῷ πολλῷ π ε ρ ι έ χ ο ν τ ι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις.*

**περιηγής.** Περικυρίαρχος, all dominant, Ἐμπεδοκλῆς 27.4 καὶ 28.2 *Σφαῖρος κυκλοτερὴς μονίῃ π ε ρ ι η γ έ ι γαίων.*

**περικάρδιος.** Περικάρδιος, pericardium, Ἐμπεδοκλῆς 105.3 *αἷμα γὰρ ἀνθρώποις π ε ρ ι κ ά ρ δ ι ό ν ἐστι νόημα.*

**περικαταλαμβάνεσθαι.** Καταλαμβάνομαι ἀπὸ παντοῦ, be overtaken from everywhere, Ἀρχύτας 1.16 *⟨τὰ⟩ δ' ὁμοίως φερόμενα, μὴ ἴσῳ δὲ τάχει, π ε ρ ι κ α τ α λ α μ β α ν ό μ ε ν α παρὰ τῶν ἐπιφερομένων τυπτόμενα ποιεῖν ψόφον.*

**περιληπτός.** Ἀντιληπτὸς/καταληπτός, perceivable/comprehensible, Ἐμπεδοκλῆς 2.8 *οὕτως οὔτ' ἐπιδερκτὰ τάδ' ἀνδράσιν οὔτ' ἐπακουστὰ οὔτε νόῳ π ε ρ ι λ η π τ ά.*

**περιπάλαξις.** Περιδίνηση/περίπλεξη, whirling/entanglement, Λεύκιππος Α 15 (DK II 75,35) τῇ τούτων (sc. τῶν ἀτόμων) συμπλοκῇ καὶ *π ε ρ ι π α λ ά ξ ε ι* πάντα γεννᾶσθαι. Δημόκριτος Α 135 (DK II 118,20) βούλεται δὲ *σκαληνά* (sc. σχήματα) λέγειν ἅπερ *π ε ρ ι π ά λ α ξ ι ν* ἔχει πρὸς ἄλληλα καὶ συμπλοκήν. Πρβλ. *σύμμιξις.*

**περιπαλάσσεσθαι.** Περιδινοῦμαι, whirl, Δημόκριτος Α 58 (DK II 99,10) *π ε ρ ι π α λ ά σ σ ε σ θ α ι* Α 135 (DK II 118,23)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



διὰ τὸ μὴ *περιπαλάττεσθαι* 168 *φύσιν ... περιπαλάσσεσθαι.*

**περιπέλεσθαι.** Κυκλογυρίζω, revolve, Ἐμπεδοκλῆς 17.29 καὶ 110.8 *περιπλομένοιο χρόνοιο* 26.1 *περιπλομένοιο κύκλοιο.*

**περισσὸς 1.** Περίσσιος, excessive, Ἐμπεδοκλῆς 13 *οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει οὐδὲ περισσόν* **2** (ἀντίθ. ἄρτιον). Περιττὸς (ἀριθμός), odd number, Φιλόλαος 5 *ὅ γα μὰν ἀριθμὸς ἔχει δύο μὲν ἴδια εἴδη, περισσὸν καὶ ἄρτιον, τρίτον δὲ ἀπ' ἀμφοτέρων μειχθέντων ἀρτιοπέριττον* Πυθαγόρειοι 5 (DK I 452,38) *περιττὸν καὶ ἄρτιον.*

**περιτίθεσθαι.** Περιάπτω, invest with, Δημόκριτος 252 *μήτε φιλονικέοντα παρὰ τὸ ἐπιεικὲς μήτε ἰσχὺν ἑαυτῷ περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ.*

**περιφερής.** Περικύκλιος, pericyclical, Δημόκριτος 164.11 *κατὰ τὴν τοῦ κύματος κίνησιν ... αἱ δὲ περιφερεῖς ταῖς περιφερέσιν ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁμοιότητος.*

**περίφοιτος.** Γυρόστροφος, wandering around, Παρμενίδης 10.4 *ἔργα τε κύκλωπος πεύσῃ περίφοιτα σελήνης καὶ φύσιν.*

**περιχεῖσθαι.** Περιχέομαι/χύνομαι ὁλόγυρα, be poured all around, Ἀναξαγόρας 19 *Ἶριν δὲ καλέομεν τὸ ἐν τῇσιν νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ. χειμῶνος οὖν ἐστι σύμβολον· τὸ γὰρ περιχεόμενον ὕδωρ τῷ νέφει ἄνεμον ἐποίησεν ἢ ἐξέχεεν ὄμβρον* Δημόκριτος Α 153 (DK II 126,9) *ἡ μὲν πιμελὴ αὐτοῖς ἔξωθεν ... περιχεῖται.*

**περιχωρεῖν.** Περιστρέφομαι, revolve, Ἀναξαγόρας 9.2 *οὕτω τούτων περιχωρούντων τε καὶ ἀποκρινομένων ὑπὸ βίης τε καὶ ταχυτῆτος* 12.13-14-15-19 *καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νοῦς ἐκράτησεν, ὥστε περιχωρῆσαι τὴν ἀρχήν. καὶ πρῶτον ἀπό του σμικροῦ ἤρξατο περιχωρεῖν, ἐπὶ δὲ πλέον περιχωρεῖ, καὶ περιχωρήσει ἐπὶ πλέον ... καὶ τὴν*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ